Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: nbg-aa

*Σωκράτης ὁ Ῥόδιος* · Socrates of Rhodes

# On Cleopatra's Banquet

*Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t1-2 ΠΕΡΙ ΕΜΦΥΛΙΟΥ ΠΟΛΕΜΟΥ. E LIBRO TERTIO. Athenaeus IV: Σωκράτης δὲ ὁ Ῥόδιος ἐν τρίτῳ Ἐμφυλίου πολέμου τὸ Κλεοπάτρας ἀναγράφων συμπόσιον, τῆς τελευταίας Αἰγύπτου βασιλευσάσης, γημαμένης δ’ Ἀντωνίῳ τῷ Ῥωμαίων στρατηγῷ ἐν Κιλικίᾳ, φησὶν οὕτως· «Ἀπαντήσασα τῷ Ἀντωνίῳ ἡ Κλεοπάτρα ἐν Κιλικίᾳ, παρεσκεύασεν αὐτῷ βασιλικὸν συμπόσιον, ἐν ᾧ πάντα χρύσεα καὶ λιθοκόλλητα περιττῶς ἐξειργασμένα ταῖς τέχναις· ἦσαν δὲ, φησὶ, καὶ οἱ τοῖχοι ἁλουργέσι καὶ διαχρύσοις ἐμπεπετασμένοι ὕφεσι.

1 Καὶ δώδεκα τρίκλινα διαστρώσασα, ἐκάλεσε τὸν Ἀντώνιον, μεθ’ ὧν ἐβούλετο, ἡ Κλεοπάτρα. Τοῦ δὲ τῇ πολυτελείᾳ τῆς ὄψεως ἐκπλαγέντος, ὑπομειδιάσασα, ταῦτ’ ἔφη πάντα δωρεῖσθαι αὐτῷ, καὶ εἰς αὔριον παρεκάλει συνδειπνῆσαι πάλιν, ἥκοντα μετὰ τῶν φίλων καὶ τῶν ἡγεμόνων· ὅτε καὶ πολλῷ κρεῖττον διακοσμήσασα τὸ συμπόσιον, ἐποίησε φανῆναι τὰ πρῶτα μικρὰ, καὶ πάλιν καὶ ταῦτα ἐδωρήσατο. Τῶν δ’ ἡγεμόνων ἐφ’ ᾗ ἕκαστος κατέκειτο κλίνῃ, καὶ τὰ κυλικεῖα, καθὼς ταῖς στρωμναῖς ἐμεμέριστο, ἑκάστῳ φέρειν ἐπέτρεψε. Καὶ κατὰ τὴν ἄφοδον τοῖς μὲν ἐν ἀξιώμασι φορεῖα σὺν τοῖς κομίζουσι, τοῖς πλείοσι δὲ καταργύροις σκευαῖς κεκοσμημένους ἵππους, πᾶσι δὲ λαμπτηροφόρους παῖδας Αἰθίοπας παρέστησε. Τῇ δὲ τετάρτῃ τῶν ἡμερῶν ταλαντιαίους εἰς ῥόδα μισθοὺς δέδωκε, καὶ κατεστρώθη ἐπὶ πηχυαῖα βάθη τὰ ἐδάφη τῶν δένδρων ἐμπεπετασμένων δικτύων τοῖς ἕλιξιν.» Ἱστορεῖ δὲ καὶ αὐτὸν τὸν Ἀντώνιον, ἐν Ἀθήναις μετὰ ταῦτα διατρίψαντα, περίοπτον ὑπὲρ τὸ θέατρον κατασκευάσαντα σχεδίαν, χλωρᾷ πεπυκασμένην ὕλῃ, ὥσπερ ἐπὶ τῶν Βακχικῶν ἄντρων γίνεται, ταύτης τύμπανα καὶ νεβρίδας καὶ παντοδάπ’ ἄλλ’ ἀθύρματα Διονυσιακὰ ἐξαρτήσαντα, μετὰ τῶν φίλων ἐξ ἑωθινοῦ κατακλινόμενον μεθύσκεσθαι, λειτουργούντων αὐτῷ τῶν ἐξ Ἰταλίας μεταπεμφθέντων ἀκροαμάτων, συνηθροισμένων ἐπὶ τὴν θέαν τῶν Πανελλήνων. «Μετέβαινε δ’ ἐνίοτε, φησὶ, καὶ ἐπὶ τὴν ἀκρόπολιν, ἀπὸ τῶν τεγῶν λαμπάσι δᾳδουχουμένης πάσης τῆς Ἀθηναίων πόλεως. Καὶ ἔκτοτ’ ἐκέλευσεν ἑαυτὸν Διόνυσον ἀνακηρύττεσθαι κατὰ τὰς πόλεις ἁπάσας.» Athenaeo XI: Βομβυλιό ς· θηρίκλειον Ῥοδιακὸν, οὗ περὶ τῆς ἰδέας Σωκράτης φησίν· «Οἱ μὲν ἐκ φιάλης πίνοντες ὅσον θέλουσι τάχιστ’ ἀπαλλαγήσονται, οἱ δὲ ἐκ βομβυλιοῦ κατὰ μικρὸν στάζοντες.

2 » OLYMPUS.

3 (1t) (ΠΕΡΙ ΚΛΕΟΠΑΤΡΑΣ.) Plutarch. Anton. c. 82, 2: Ἐκ δὲ λύπης ἅμα τοσαύτης καὶ ὀδύνης (ἀνεφλέγμηνε γὰρ αὐτῆς τὰ στέρνα τυπτομένης καὶ ἥλκωτο) πυρετῶν ἐπιλαβόντων, ἠγάπησε

τὴν πρόφασιν, ὡς ἀφεξομένη τροφῆς διὰ τοῦτο, καὶ παραλύσουσα τοῦ ζῆν ἀκωλύτως ἑαυτήν. Ἦν δὲ ἰατρὸς αὐτῇ συνήθης Ὄλυμπος, ᾧ φράσασα τἀληθὲς, ἔχρητο συμβούλῳ καὶ συνεργῷ τῆς καθαιρέσεως, ὡς αὐτὸς ὁ Ὄλυμπος εἴρηκεν, Ἱστορίαν τινὰ τῶν πραγμάτων τούτων ἐκδεδωκώς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org